Δημοσθένους ῥήτορος· ὀλυνθιακὸς α

Ἀντὶ πολλῶν ἂν ὦ ἄνδρες ἀθηναῖοι χρημάτων
ὑμᾶς ἑλέσθαι νομίζω· εἰ φανερὸν γένοιτο
τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ
σκοπεῖτε· ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει·
προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν
βουλομένων συμβουλεύειν· οὐ γὰρ μόνον εἴ τι
χρήσιμον ἐσκεμμένος ἥκει τις τοῦτ' ἂν ἀ-
κούσαντες λάβοιτε· ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης
ὑπολαμβάνω· πολλὰ τῶν δεόντων ἐκ τοῦ
παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν· ὥστ'
ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος
ὑμῖν αἵρεσιν γενέσθαι· ὁ μὲν οὖν παρὼν καιρὸς
ὦ ἄνδρες ἀθηναῖοι· μόνον οὐχὶ λέγει φωνὴν
ἀφιεὶς· ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων
αὐτοῖς ἀντιληπτέον ἐστίν· εἴπερ ὑπὲρ σωτη-
ρίας αὐτῶν φροντίζετε· ἡμεῖς δ' οὐκ οἶδ' ὅντι-
νά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά·
ἐστιν δὴ τά γ' ἐμοὶ δοκοῦντα ψηφίσασθαι μὲν
ἤδη τὴν βοήθειαν· καὶ παρασκευάσασθαι τὴν τα-

BIBLIOTHECA APOSTOLICA VATICANA

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
The Polonsky Foundation
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_104/0007